τοὺς δὲ δικανικοὺς αὐτοῦ λόγους καὶ οὓς ἔδει ἐν πλήθει λέγειν λέγεται ὡς ὅτι ἢ δι' ἄλλων ἐπεδείκνυτο ἢ δι' ἑαυτοῦ ὀλίγους. ἄξιον δὲ καὶ περὶ τοῦ χαρακτῆρος τἀνδρὸς εἰπεῖν. ἤδη μὲν οὖν προφθάσαντες εἴπομεν ὡς ὅτι ζηλωτὴς μὲν ἐγένετο τοῦ Γοργίου κατὰ τὸ ὁμοιοκαταλήκτως καὶ παρισῶσες πλὴν οὐχ ὥσπερ ἐκεῖνος ἀεὶ διὰ τὸ προσκορές, σαφεῖ δὲ τῇ λέξει κέχρηται καὶ ἠθικῇ καὶ πιθανῇ, στρογγύλη δὲ οὐκ ἔστιν οὐδὲ χάριν ἔχουσα ὥσπερ ἡ τοῦ Λυσίου. λέγεται γὰρ καὶ τοῦτο ὡς

ὅτι διεφθονοῦντο οὗτοι ἀλλήλοις καὶ ἀντεπαίδευον. συνεχὴς δέ ἐστι τοῖς ἐνθυμήμασιν, οὔπω γὰρ τελειώσας τὸ νόημα ἄλλο αὐτῷ συμπλέκει ἐνθύμημα. διὰ πολλῶν δ' αὐτοῦ καὶ τὰ προοίμια. εἰ δέ τινες ἐπεισάγουσιν ἄλλους τινὰς λόγους ὡς ὄντας αὐτοῦ, οὐ προσδεκτέον ἐκείνους παρὰ τοὺς φερομένους, εἰσὶ δὲ οἱ ἐπεισφερόμενοι οὗτοι· συμβουλευτικοὶ ἐννέα, περὶ παρασκευῆς ἱπποµεδῶν, περὶ αὐτονομίας, Σινωπικός, νησιωτικός, σ΄μμικτοι τρεῖς· Ἀμφικτυονικός, περὶ τοῦ κατοικισμοῦ Μιλησίοις. ἐπιδεικτικοὶ ἑπτὰ, Κλυταιμνήστρας ἐγκώμιον, Πηνελόπης, Μενεκράτης, ἐπιτάφιος τοῖς ἐν Θυραίᾳ, Νεοπτόλεμος, Παριακός, συνηγορία πρὸς τὴν ἐπιστολὴν τοῦ ἐπιστάτου, περὶ τοῦ ὄρτυγος, ὑπὲρ Τιμοθέου ἐπιτροπικὸς περὶ τῆς ὑδρίας. σύμμικτοι πέντε· περὶ φιλοσοφίας, περὶ Πλάτωνος, περὶ ἔριδος, προτρεπτικός, καταδρομὴ σοφιστῶν. λέγεται δὲ ὡς ὅτι καὶ τέχνην ῥητορικὴν ἔγραψε· τῷ δὲ χρόνῳ ἔτυχεν αὐτὴν ἀπολέσθαι. ἐρεῖ δέ τι σκαὶ πόθεν δῆλον ὅτι τοῦτο οὕτως ἔχει; λέγομεν ὡς ὅτι Ἀριστοτέλης ὁ φιλόσοφος συναγαγὼν τέχνας ῥητορικὰς ἐμνήσθη καὶ ταύτης.[1])

---

[1]) Cum, quaecunque de vita et sermone Isocratis proferuntur ab Anonymo, ex Dionysii scriptis deprompta sint (cfr. judicium de Isocr. et vett. script. censuram), non audacis videtur esse, si quis conjecerit etiam in afferendis Isocratis orationibus spuriis Anonymum in manibus habuisse librum, qui etsi non ipse esset Dionysianus, tamen ad auctoritatem Halicarnassensis rediret. Fons enim quidam, quo Anonymus usus est, simillimus debuit esse ei quem habuit Photius: uterque idem de arte Isocratis rhetorica tradit. Jam Photius disertis verbis dicit, quot secundum Dionysium orationes vere Isocratis fuisse censendae sint. Quoniam Anonymus in priore parte quae ad *πίνακας* pertinet cum Photio consentit — scil. de Isocratis arte rhetorica — ne in recensendis quidem orationibus spuriis ille ab Photii fonte longe alienus esse potuit. Credo igitur titulis eis quos affert Anonymus servata esse nobis plurimarum earum orationum nomina quae ex Dionysii censura ab Isocrate abjudicandae sunt. At dixerit fortasse quispiam: fac addas ad illas orationes XXV genuinas numerum earum orationum spuriarum quae leguntur apud Anonymum, non jam habes LX orationes, quas vulgo Isocratis nomine ferri monet Photius. Sane, sed verba ipsa illa Anonymi paulo accuratius inspiciamus! Atque dicit: *συμβουλευτικοὶ ἐννέα.* At orationes deliberativae quas tum singulas affert non sunt vere novem, sed sex: 1. *περὶ παρασκευῆς ἱπποµεδῶν* (ubi cum Sauppio legendum est *ἱπποδρόμων*), 2. *περὶ αὐτονομίας*, 3. *Σινωπικός*, 4. *νησιωτικός*, 5. *Ἀμφικτυονικός*, 6. *περὶ τοῦ κατοικισμοῦ Μιλησίοις.* Deinde: *ἐπιδεικτικοὶ ἑπτά.* At enumerat orationes sex tantum: 1. *Κλυ-*

Inter Isocratis orationes Dionysius refert:

orat. IV. Panegyricum: de compos. c. 25 p. 208 — verba ex ea afferuntur: de Dem. c. 40 p. 1079. orat. V. Philippum: art. rhet. IX. c. 12 p. 357 de Isocr. c. 6 p. 546.

orat. VI. Archidamum: de Isocr. c. 9 p. 551.

orat. VII. Areopagiticum: de Isocr. c. 6 p. 546 — de compos. c. 23 p. 182 art. rhet. IX. c. 12 p. 357.

orat. VIII. de pace: de Isocr. c. 7 p. 547 — de Dem. c. 17 p. 1001.

orat. XV. *περὶ ἀντιδόσεως*: de Dem. c. 17 p. 1001.

orat. XVII. Trapeziticum: de Isocr. c. 18 p. 578.

Περὶ Ἀνδοκίδου.

Extitisse etiam Andocidearum orationum a Dionysio conscriptam censuram probavit viditque Blassius p. 16.

Fragm. XVI. auctor argumenti ad III. Andoc. orat. quae est de pace cum Lacedaemoniis facienda habita edit. Blass. p. 65:

Ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον. [1])

ταιμνήστρας ἐγκώμιον, 2. *Πηνελόπης ἐγκ.*, 3. *Μενεκράτης*, 4. *ἐπιτάφιος τοῖς ἐν Θυραίᾳ*, 5. *Νεοπτόλεμος*, 6. *Παριακός*. Tum nullo praemisso alius generis nomine addit: *συνηγορία πρ. τ. ἐπίστ.*, *περὶ τοῦ ὄρτυγος*, *ὑπὲρ Τιμοθέου*, *ἐπιτροπικὸς π. τ. ὑδρ.* quarum quattuor orationum tituli ad aliud pertinere quidquam non possunt nisi ad *γένος δικανικόν*, cujus generis orationes aliae praeter illas non leguntur. — Itaque apparet titulos orationum apud Anonymum adeo confusos esse, ut inde nemo quidquam contra nostram conjecturam deducere possit.

C[1]fr.) Blass. attic. eloquent. p. 319 et Dionysium de Lys. p. 454 R.

Περὶ μιμήσεως.

De imitatione librum sese composuisse Dionysius ipse testatur in epist. ad Pomp. p. 766, ubi item de argumento et dispositione totius operis satis edocemur. Sunt capitis tertii secundum Reiskii editionem verba haec: *Περὶ δὲ Ἡροδότου καὶ Ξενοφῶντος ἐβουλήθης μαθεῖν τίνα περὶ αὐτῶν ὑπόληψιν ἔχω καὶ γράψαι μϐ περὶ αὐτῶν ἐβουλήθης. πεποίηκα καὶ τοῦτο εἰς Δημήτριον ὑπομνηματισμὸν περὶ μιμήσεως. τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφϐ τὴν περὶ τῆς μιμήσεως ζήτησιν, ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ ποιητάς τϐ καὶ φιλοσόφους ἱστοριογράφους τϐ καὶ ῥήτορας, ὁ δὲ τρίτος περὶ τοῦ πῶς δεῖ μιμεῖσθαι περὶ τούτου δ᾽ ἀτελής.* Est locus conjecturis satis vexatus, vide Blass. p. 19; inter omnes emendationes unam equidem praeferam, quia videtur sententiae aptissima esse, hanc: *ἐν τῷ δευτέρῳ τῶν πρὸς Δημήτριον ὑπομνηματισμῶν περὶ μιμήσεως.* Sub finem non sequi non possumus Sylburgium scribentem: *οὗτος δ᾽ ἀτελής.* Sed utut haec emendanda sunt, constat verba Dionysii indicare, tertiam partem libri tum temporis non esse absolutam. Alteram hujus commentationis partem continuisse brevem tantum adumbrationem virtutum singularum in antiquis scriptoribus sequendarum, apparet ex ipsius Dionysii verbis tract. de Thuc. p. 810 et sequ.: *καὶ δεδηλωκὼς ἐν ὀλίγοις τινὰς ἃς ἕκαστος αὐτῶν εἰσφέρεται πραγματικάς τϐ καὶ λεκτικὰς ἀρετάς . . . . συντόμῳ τϐ καὶ κεφαλαιώδει γραφῇ περιλαβών.* Itaque quae in epist. ad Pompejum de praecipuis historicis leguntur eadem continuisse alterum *περὶ μιμήσεως* libri caput recte observat Blassius de script. rhet. p. 19. Epitomen totius quod tractabat Dionysius altero capite argumenti in commentatione cui Sylburgius editor nomen indidit: „*ἀρχαίων κρίσις*“ nobis servatam neque tamen eam a Dionysio confectam esse primus vidit G. Beckerus l. l. p. XVII. not. 9. Quintilianus in conscribendo instit. orat. libro decimo non ea epitome quam nos habemus sed ipsius Dionysii integro libro usus videtur esse.

Fragm. XVII. Anonym. Schol. W. rhett. gr. vol. VII. p. 865:

Διονύσιος μὲν ἐν τῷ πρώτῳ περὶ μιμήσεως ὁρίζεται τὴν μίμησιν οὕτως· μίμησίς ἐστιν ἐνέργεια διὰ τῶν θεωρημάτων ἐκματτομένη τὸ παράδειγμα. [1])

Fragm. XVIII. Syrianus W. rhett. gr. vol. IV. p. 41 codex Venetus:

ἀκολούθως δὲ τῷ θείῳ Πλάτωνι καὶ Διονύσιος ὁ πρεσβύτερος ἐν τῷ πρώτῳ τίτλῳ περὶ μιμήσεώς φησιν, ὅτι τρία ταῦτα τὴν ἀρίστην ἡμῖν ἔν τε τοῖς πολιτικοῖς λόγοις ἔξιν καὶ ἐν πάσῃ τέχνῃ τε καὶ ἐπιστήμῃ χορηγήσει φύσις δεξιά, μάθησις ἀκριβής, ἄσκησις ἐπίπονος, ἅπερ τὸν Παιανιέα τοιοῦτον ἀπειργάσατο.

Fragm. XIX. Anonym. Schol. W. rhett. gr. vol. VII. p. 868 codex Venetus:

ἔτι γε μὴν καὶ Διονύσιος πρὸς τῷ τέλει τοῦ τετάρτου βιβλίου[2]) *τῶν περὶ μιμήσεως περὶ προαιρέσεώς τε καὶ δυνάμεως τῆς περὶ λόγον διεξιὼν ἔφη τῆς μὲν δυνάμεως τὴν κυριωτάτην εἶναι μοῖραν ἐν τῇ φύσει ἣν οὐκ*

---

[1]) Eadem tradit Maxim. Plan vol. V. p. 440 omissa tantum loci significatione, ubi apud Dionysium haec legantur [*ἐν τῷ πρώτῳ περὶ μιμήσεως*]. Ceterum conferenda sunt quae idem Dionysius de imitatione docet art. rhet. X. p. 394: *μίμησις γὰρ οὐ χρῆσίς ἐστι τῶν διανοημάτων ἀλλ' ἡ ὁμολογία τῶν καιρῶν, ἔντεχνος μεταχείρισις. καὶ μιμεῖταί* (*τις* de meo, quod necessarium videtur, addiderim) *τὸν Δημοσθένη οὐχ ὅτι Δημοσθενικῶς, καὶ τὸν Πλάτωνα ὁμοίως; καὶ τὸν Ὅμηρον. καὶ πᾶσα ἡ μίμησις ὧδε ἔχει· τέχνης ζῆλος καταμαθὼν ἐνθυμημάτων ὁμοιότητα. μακρότερος ὁ περὶ μιμήσεως λόγος ὃν ἀλλαχῇ μεταχειριούμεθα.* Ad rem confer [Cassiod. libr. de rhet.] cap. VII. edit. Halm. p. 501 v. 31 et seq.: „facultas orandi consummatur natura, arte, exercitatione, cui partem quartam adiciunt quidam imitationis, quam nos arti subicimus."

[2]) Nisi errorem statueris scholiastae, aut *πρώτου* aut *τρίτου* legendum est; quartus liber non fuit. Nobis hujus fragmenti verba melius hoc loco quasi libri primi reliquiae ascribenda esse videbantur quam extremo loco quasi tertii libri fragmentum. Si quis verba fragm. XVIII. paulo accuratius inspexerit, eum vix puto negare, quae illo quae hoc loco disputantur inter se non aliena esse sed arcte cohaerere.

ἐφ᾽ ἡμῖν εἶναι οἵαν ἀξιοῦμεν ἔχειν· τῆς δὲ προαιρέσεως οὐδὲν μέρος ἐστὶν οὗ μὴ τὴν ἐξουσίαν ἡμεῖς ἔχομεν.

Fragm. XX. Maxim. Planud. W. rhett. gr. vol. V. p. 444 seq.:

Ἄμεινον δὲ τῷ Ἁλικαρνασσεῖ Διονυσίῳ ἑπομένους ποιητικὸν μὲν λόγον φάναι τὸν τροπικῇ τε καὶ μεταφορικῇ καὶ διθυραμβώδει συνθήκῃ συντεθειμένον ὁποία ἡ Γοργίου τοῦ ῥήτορος φράσις· πρῶτον γὰρ ἐκεῖνος ὡς φησιν ὁ Διονύσιος ἐν τῷ περὶ μιμήσεως δευτέρῳ τὴν ποιητικὴν καὶ διθυραμβώδη λέξιν εἰς τοὺς πολιτικοὺς εἰσένεγκε λόγους.

Max. Plan. p. 446: *ἔτι γε μὴν ἐν τῷ περὶ μιμήσεως ὁ αὐτός* — scil. *Διονύσιος* — *φησιν ὅτι Γοργίας μὲν τὴν ποιητικὴν ἑρμηνείαν μετήνεγκεν εἰς λόγους πολιτικοὺς οὐκ ἀξιῶν ὅμοιον τὸν ῥήτορα τοῖς ἰδιώταις εἶναι.*

Fragm. XXI. Maxim. Plan. W. rhett. gr. vol. V. p. 446:

ἔτι γε μὴν ὁ αὐτὸς ἐν τῷ αὐτῷ βιβλίῳ [1]) *τὸ δοκοῦν ἀνεπιτήδευτον εἶναι ἀποίητον ὀνομάζει. καὶ πολὺ κάλλιον ἦν οὕτως ὀνομάσαι τὸ ἀνεπιτήδευτον ἐπείπερ τοῦτο ἐβούλετο δηλῶσαι ἢ ὡς οὐ ποιητικόν· ἐπάγει γὰρ καὶ τάδε περὶ Λυσίου· δοκεῖ γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἑρμηνείας αὐτοῦ χαρακτὴρ καὶ πολλοῖς ἂν καὶ τῶν φιλολόγων παράσχοι δόξαν ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται· ἔστι δὲ παντὸς ἔργου μᾶλλον τεχνικοῦ κατεσκευασμένος· πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον καὶ δέδεται τὸ λελυμένον καὶ ἐν αὐτῇ τῇ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι τὸ δεινὸν ἔχει.*

Fragm. XXII. Dion. Hal. ep. ad. Pompejum c. III. p. 766 R.:

---

[1]) Scil. in libro secundo commentationis *περὶ μιμήσεως*; itaque aut error Maximi Planudis statuendus est aut Dionysius putandus se ipse descripsisse, verba enim *δοκεῖ γὰρ κτλ.* usque ad finem paene prorsus eadem leguntur in jud. de Lys. c. IX. p. 468 R., praeterquam quod codices Dionysiani habent *ἁρμονίας* pro *ἑρμηνείας*, deinde paulo fusius quam Planudes tradit: *καὶ οὐ θαυμάσαιμ᾽ ἄν εἰ πᾶσα μὲν τοῖς ἰδιώταις οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους τοιαύτην τινὰ παράσχοι.* Denique apud Dion. in jud. de Lys.: *παντὸς μᾶλλον ἔργου* et: *πεποίηται γὰρ αὐτῷ.* — Cum supremis fragmenti verbis conferenda videntur, quae habet Tzetzes Schol. in Hermog. — Anecd. Gr. Oxon. vol. IV. 127, 20 seqq.: *περὶ τῆς οὔσης λέγω δὲ καὶ μὴ δοκούσης εἶναι ὁποία ἡ δεινότης ἦν τοῦ ῥήτορος Λυσίου, τὸ Δημοσθένους γὰρ δεινὸν κατ᾽ ἔννοιαν ὑπάρχει, δεινότης ἡ Δεινάρχου δὲ γίνεται μόνη λέξει.*

Περὶ δ' Ἡροδότου καὶ Ξενοφῶντος ἐβουλήθης μαθεῖν τίνα περὶ αὐτῶν ὑπόληψιν ἔχω καὶ γράψαι μβ περὶ αὐτῶν. [1]) *Πεποίηκα τοῦτ' ἐν τῷ β' τῶν πρὸς Δημήτριον ὑπομνηματισμῶν περὶ μιμήσεως. Τούτων ὁ μὲν πρῶτος αὐτὴν περιείληφβ τὴν περὶ τῆς μιμήσεως ζήτησιν· ὁ δὲ δεύτερος περὶ τοῦ τίνας ἄνδρας μιμεῖσθαι δεῖ, ποιητάς τε καὶ φιλοσόφους καὶ* [2]) *ἱστοριογράφους καὶ ῥήτορας, ὁ δὲ τρίτος περὶ τοῦ* [3]) *πῶς δεῖ μιμεῖσθαι, οὗτος δ' ἀτελής. Ἐν δὲ τῷ δευτέρῳ περὶ Ἡροδότου τε καὶ Θουκυδίδου καὶ Ξενοφῶντος καὶ Φιλίστου καὶ Θεοπόμπου — τούτους γὰρ ἐκκρίνω τοὺς ἄνδρας ὡς* [4]) *εἰς μίμησιν ἐπιτηδειοτάτους — τάδε γράφω· Εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡροδότου καὶ Θουκυδίδου ταῦτα φρονῶ· πρῶτον ὅ τι καί σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γράφουσι πάσας* [5]) *ἱστορίας, ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ κεχαρισμένην τοῖς ἀναγνωσομένοις τοῦθ' Ἡρόδοτος κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου. Ἐκεῖνος μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβαρικῶν πράξεων ἐξενήνοχεν ἱστορίαν ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων ἐξίτηλα γένηται μήτε ἔργα* [6]) *(μεγάλα τε καὶ θωϋμαστὰ τὰ μὲν Ἕλλησι τὰ δὲ βαρβάροισιν ἀποδεχθέντα ἀκλεᾶ γένηται) καθάπερ* [7]) *αὐτὸς εἴρηκε. Τὸ γὰρ αὐτὸ προοίμιόν τε [καὶ ἀρχὴ]* [8]) *καὶ τέλος ἐστὶ τῆς ἱστορίας. Ὁ δὲ Θουκυδίδης πόλεμον ἕνα γράφει καὶ τοῦτον οὔτε καλὸν οὔτ' εὐτυχῆ· ὃς μάλιστα μὲν ὤφειλε μὴ γενέσθαι· εἰ δὲ μή, σιωπῇ*

---

[1]) Codd. habent: *αὐτῶν ἐβουλήθης πεποίηκα καὶ τοῦτο εἰς Δημήτριον ὑπομνηματισμόν.* Herwerdenius ante *ἐβουλήθης* inseruit *ὃ δὲ*, nos cum Kruegero expunximus *ἐβουλήθης*, sequentia verba Herwerdenius sic correxit: *πεποίηκα κατὰ τοὺς πρὸς Δημήτρ. ὑπομνηματισμούς.*

[2]) *καὶ* secutus Herwerdenium addidi.

[3]) *περὶ τοῦ* abesse mavult Herwerdenius.

[4]) *ὡς* conjecit Reiskius addendum esse, in textum recepimus cum Herwerdenio.

[5]) *πάσας* inserit teste Herwerdenio, qui codices denuo contulit vel primus inspexit, codex optimae notae Ambrosianus.

[6]) Vulgo *τὰ ἔργα*, id quod neque Herodotus habet neque Ambrosianus (Herw.).

[7]) Vulgo *καὶ ἄπερ*, quod retinuit cum Reiskio Kruegerus, *καθάπερ* recte scripsit jam Sylburgius.

[8]) *καὶ ἀρχὴ* uncis inclusit Herw., quem quin sequi debeam non dubito.

καὶ λήθῃ παραδοθεὶς ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι. Ὅτι δὲ πονηρὰν εἴληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο ποιεῖ φανερὸν ἐν τῷ προοιμίῳ. „Πόλεις τε γὰρ δι' αὐτὸν ἐξερημωθῆναί φησιν Ἑλληνίδας πολλὰς, τὰς μὲν ὑπὸ βαρβάρων τὰς δ' ὑπὸ σφῶν αὐτῶν, καὶ φυγὰς καὶ φόνους [1]) ἀνθρώπων, ὅσους οὔπω πρότερον γενέσθαι, σεισμούς τε καὶ αὐχμοὺς καὶ νόσους καὶ ἄλλας πολλὰς συμφοράς.“ ὥστε τοὺς ἀναγνόντας τὸ προοίμιον ἠλλοτριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλληνικῶν κακῶν μέλλοντας ἀκούειν. Ὅσῳ δὲ κρείττων ἡ τὰ θαυμαστὰ ἔργα δηλοῦσ' Ἑλλήνων τε καὶ βαρβάρων γραφὴ τῆς τὰ οἰκτρὰ καὶ δεινὰ πάθη τῶν Ἑλλήνων διαγγελλούσης, τοσούτῳ φρονιμώτερος Ἡρόδοτος Θουκυδίδου κατὰ τὴν ἐκλογὴν τῆς ὑποθέσεως. Οὐδὲ γὰρ οὐδὲ τοῦτ' ἔνεστιν εἰπεῖν, ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ ταύτην τὴν γραφὴν ἐπιστάμενος (μὲν) [2]) ἐκεῖνα καλλίω βουλόμενος δὲ μὴ ταὔθ' ἑτέροις γράφειν· πᾶν γὰρ τοὐναντίον, ἐν τῷ προοιμίῳ διασύρων τὰ παλαιὰ ἔργα, μέγιστα [3]) καὶ θαυμασιώτατα τὰ καθ' αὑτὸν ἐπιτελεσθέντα φησὶν εἶναι καὶ φανερός ἐστι ταῦθ' ἑκὼν προελόμενος. Οὐ μὴν Ἡρόδοτός γε τοῦτ' ἐποίησεν, ἀλλὰ τῶν πρὸ αὐτοῦ συγγραφέων γενομένων Ἑλλανίκου τε καὶ Χάρωνος τὴν αὐτὴν ὑπόθεσιν προεκδεδωκότων οὐκ ἀπετράπετο, ἀλλ' ἐπίστευσεν αὐτῷ [4]) κρεῖττόν τι ἐξοίσειν ὅπερ καὶ πεποίηκεν.

Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον γνῶναι, πόθεν τ' ἄρξασθαι καὶ μεχρὶ τοῦ προελθεῖν δεῖ. Φαίνεται δὴ κἀν τούτῳ [5]) Θουκυδίδου πολὺ Ἡρόδοτος φρονιμώτερος,[6]) ἄρχεταί τ' ἀφ' ἧς αἰτίας ἤρξαντο πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι καὶ προελθὼν εἰς τὴν τῶν βαρβάρων κόλασιν καὶ τιμωρίαν λήγει. Ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο ἀφ' οὗ [7]) ἤρξατο κακῶς πράττειν τὸ Ἑλληνικόν, ὅπερ Ἕλλην'

---

[1]) Ambrosianus: φυγάδας καὶ φθόρους (Herw.).

[2]) Addidit Herwerden μὲν ὄντ', sed ὄντα non utique necessarium esse docet Kruegerus grammaticus §. 55, 4, 4.

[3]) Ipsum prooemium Thucydidis nos docet scribendum esse non κάλλιστα quod voluit Herwerdenius, sed mutandam esse vulgatam scripturam μάλιστα in μέγιστα.

[4]) αὐτῷ habet Ambrosianus, vulgo legitur αὐτῶν (Herw.).

[5]) Addit injuria de suo Herwerdenius ὧν, quod per se non opus est neque hunc locum tenere posse videtur.

[6]) Inserit Herw. ὃς, quod superfluum est.

[7]) Debetur Kruegero, vulgo ἀφ' ἧς (Herw.).

ὄντα καὶ Ἀθηναῖον [1]) οὐκ ἔδει ποιεῖν καὶ ταῦτ᾽ οὐ τῶν ἀπερριμμένων ὄντα, ἀλλ᾽ ὧν ἐν πρώτοις ἦγον Ἀθηναῖοι στρατηγιῶν τε καὶ τῶν ἄλλων τιμῶν ἀξιοῦντες· καί οὕτω γε [2]) φθονερῶς, ὥστε καὶ τῇ πόλει τῇ ἑαυτοῦ τὰς φανερὰς [3]) αἰτίας τοῦ πολέμου περιάπτειν ἑτέραις ἔχοντα πολλαῖς ἀφορμαῖς περιάψαι τὰς αἰτίας. [4]) Καίτοι ἄρξασθαί γ᾽ ἔδει τῆς διηγήσεως μὴ ἀπὸ τῶν Κερκυραϊκῶν ἀλλ᾽ ἀπὸ τῶν κρατίστων τῆς πατρίδος ἔργων ἃ μετὰ τὸν Περσικὸν πόλεμον εὐθὺς ἔπραξαν· ὧν ὕστερον κἂν ἀνεπιτηδείῳ [5]) τόπῳ μνήμην ἐποιήσατο φαύλως πως καὶ ἐξ [6]) ἐπιδρομῆς· διελθοντα δὲ ταῦτα μετὰ πολλῆς εὐνοίας ὡς ἄνδρα φιλόπολιν ἔπειτ᾽ ἐπενεγκεῖν, ὅτι τούτων φθόνῳ καὶ δέει προελθόντες [7]) Λακεδαιμόνιοι προφάσεις ὑποθέντες ἑτέρας ἦλθον ἐπὶ τὸν πόλεμον· καὶ τότε λέγειν τὰ Κερκυραϊκὰ καὶ τὸ κατὰ Μεγαρέων ψήφισμα, καὶ εἴ τι ἄλλο τοιοῦτο λέγειν [8]) ἐβούλετο. Τὸ δὲ τέλος ἔτι πλείονος ἁμαρτίας ἐστὶ πλῆρες· [9]) καίπερ γὰρ λέγων ὅτι παντὶ τῷ πολέμῳ παρεγένετο καὶ πάντα δηλώσειν ὑποσχόμενος, εἰς τὴν ναυμαχίαν τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην Ἀθηναίων καὶ Πελοποννησίων, [10]) ἣ συνέβη κατ᾽ ἔτος εἰκοστὸν καὶ δεύτερον. Κρεῖττον δ᾽ ἦν [11]) διεξελθόντα πάντα [12]) τελευτὴν ποιήσασθαι τῆς ἱστορίας τὴν θαυμασιωτάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαρισμένην,

---

[1]) καὶ Ἀθηναῖον turpe emblema est Herwerdenio, nobis propter sequentia: καὶ ταῦτ᾽ οὐ τῶν ἀπερριμμένων ὄντα illa duo vocabula non videntur delenda esse.

[2]) Sic Reiskius pro vulgata οὔτε, φθονερῶς reposuit de conjectura pro φανερῶς Herwerdenius.

[3]) Deleri vult Herw., conferendus est Thuc. I, cap. 23, quo nixus loco recte retinuit Kruegerus vulgatam.

[4]) Herw. mavult αὐτάς.

[5]) Vulgo: ἐπιτηδείῳ, correxit Kruegerus.

[6]) Male Herw. κἀξ. Kruegeri gramm. §. 13, 7, 6.

[7]) Herw. mutavit vix suo jure προαχθέντες.

[8]) Delevit Herwerdenius.

[9]) Vulgo: τὰ δὲ τέλη πλείονος ἁμαρτίας πλήρη, quae verba correxit Reiskius.

[10]) Ἀθ. καὶ Πελοπ. deleri vult Herwerdenius, fortasse sic legendum est: γεγενημένην, ἣ συνέβη κατ᾽ ἔτος εἰκοστὸν καὶ δεύτερον Ἀθηναίων καὶ Πελοποννησίων πολεμούντων. (?)

[11]) Injuria inserit Herw. ἄν.

[12]) Ita Ambrosianus; vulgo: τὰ πάντα.

τὴν κάθοδον τῶν φυγάδων τῶν ἀπὸ Φυλῆς ἀφ᾽ οὗ [1]) ἡ πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἐκομίσατο.

Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ (σκοπεῖν) [2]) τίνα τε δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα καὶ τίνα παραλιπεῖν. Δοκεῖ δή μοι κἀν τούτῳ λείπεσθαι Θουκυδίδης. Συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος ἔχουσ᾽ ἀξιόλογόν τι [3]) διήγησις, ἂν μὲν ἀναπαύσεις τινὰς λαμβάνῃ, τὰς ψυχὰς τῶν ἀκροωμένων ἡδέως διατίθησιν, ἐὰν δ᾽ ἐπὶ τῶν αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μάλιστ᾽ ἐπιτυγχάνηται, [4]) λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ, ποικίλην ἐβουλήθη ποιῆσαι τὴν γραφήν, Ὁμήρου ζηλωτὴς γενόμενος. Καὶ γὰρ τὸ βιβλίον ἣν αὐτοῦ λάβωμεν, μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα, καὶ ἀεὶ τὸ πλεῖον ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα [καί τινας] [5]) ἀπνευστὶ διεξέρχεται μάχας ἐπὶ μάχαις καὶ παρασκευὰς ἐπὶ παρασκευαῖς καὶ λόγους ἐπὶ λόγοις συντιθείς, ὥστε μοχθεῖν τὴν διάνοιαν τῶν ἀκροωμένων. Κόρον δ᾽ ἔχει, φησὶν ὁ Πίνδαρος, καὶ μέλι καὶ τὰ τέρπν᾽ ἄνθ᾽ ἀφροδίσια. [6]) Ὃ δὲ δὴ λέγω, [7]) κἀκεῖνος ἐνεθυμήθη, ὡς ἡδὺ χρῆμ᾽ ἐν ἱστορικαῖς γραφαῖς μεταβολὴ καὶ τὸ ποικίλον· καὶ τοῦτ᾽ ἐν δύ᾽ ἢ τρισὶ τόποις ἐποίησεν ἐπί τε τῆς Ὀδρυσῶν ἀρχῆς δι᾽ ἃς αἰτίας ἐγένετο μεγάλη, κἀπὶ τῶν ἐν Σικελίᾳ πόλεων.

Μετὰ τοῦτ᾽ ἔργον ἐστὶν ἱστορικοῦ διελέσθαι τε καὶ τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ. Πῶς οὖν ἑκάτερος διαιρεῖταί τε καὶ τάττει [8]) τὰ λεγόμενα; Θουκυδίδης μὲν τοῖς χρόνοις ἀκολουθῶν,

---

[1]) Vulgo: ἀφ᾽ ὧν, Reiskius: ἀφ᾽ ἧς, ego praetulerim ἀφ᾽ οὗ.

[2]) σκοπεῖν, quod deest in codicibus, supplendum esse vidit jam Reiskius, ἔργον addit Herwerdenius, quod nobis non necessarium videtur esse.

[3]) Codd.: ἀπὸ λόγου, quod ne nobis quidem ferri posse videtur. Herwerdenius scripsit πολὺ, nos proponimus ἀξιόλογόν τι.

[4]) Herwerdenius conjicit: κἂν τἄλλα μάλιστ᾽ ἐπιτυγχάνηται.

[5]) Reiskius conjecit: καὶ καινὰς ἀεί τινας ἀπνευστί. nos secuti sumus Herwerdenium, qui uncis inclusit ea verba; „vocabula καί τινας sunt varia lectio leviter corrupta ex καί τινα, quae olim adscripta fuerit ad ἕνα vel superscripta, mox vero, ut fit, textui se insinuarit.“

[6]) Pindari verba scripsi ut leguntur nunc Neme. Od. VII. v. 78. praeeunte Herwerdenio.

[7]) Recepi conjecturam Herw., codd.: ἤδη δ᾽ ἐγὼ κἀκεῖνο ἐνεθυμήθην.

[8]) Habent codices; Herwerdenius mavult διατάττων.

Ἡρόδοτος δὲ ταῖς περιοχαῖς τῶν πραγμάτων· καὶ γίγνεται Θουκυδίδης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν γὰρ κατὰ ταὐτὸ θέρος ἢ κατὰ τὸν αὐτὸν χειμῶνα [1]) *γιγνομένων ἐν διαφόροις, ὡς εἰκὸς, τόποις ἡμιτελεῖς τὰς πρώτας πράξεις καταλιπὼν ἑτέρων ἅπτεται [τῶν κατὰ τὸ αὐτὸ θέρος ἢ χειμῶνα γιγνομένων].* [2]) *Πλανώμεθα δὴ, καθάπερ εἰκὸς, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν ταραττομένης τῆς διανοίας. Ἡρόδοτος δ' ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος καὶ μέχρι τῆς Κροίσου καταβάς, ἐπὶ Κῦρον εὐθέως τὸν καταλύσαντα τὴν Κροίσου ἀρχὴν μεταβαίνει, Αἰγυπτίων τ' ἄρχεται διηγημάτων καὶ Σκυθικῶν καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δ' ὡς ἐπιζητούμενα προσαναλαμβάνων* [3]) *τὰ δ' ὡς χαριστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων· διεξελθών τε πράξεις Ἑλλήνων καὶ βαρβάρων ἔτεσιν ὁμοῦ διακοσίοις καὶ εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις καὶ παραγράψας τῆς Ξέρξου φυγῆς τὴν ἱστορίαν οὐ διέσπασε τὴν διήγησιν, ἀλλὰ συμβέβηκε τῷ μὲν μίαν ὑπόθεσιν λαβόντι πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα, τῷ δὲ τὰς πολλὰς καὶ οὐδὲν ἐοικυίας* [4]) *ὑποθέσεις προελομένῳ σύμφωνον ἓν σῶμα πεποιηκέναι.*

Μιᾶς δ' ἰδέας ἔτι μνησθήσομαι [5]) *πραγματικῆς ἣν οὐδεμιᾶς τῶν προειρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν ἣ κέχρηται πρὸς τὰ πράγματα, περὶ ὧν γράφει. Ἡ μὲν (οὖν)* [6]) *Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς καὶ τοῖς μὲν ἀγαθοῖς συνηδομένη τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου αὐθέκαστός τις καὶ πικρὰ καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. Τὰ μὲν γὰρ ἁμαρτήματ'* [7]) *ἐπεξέρχεται καὶ μάλ' ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχω-*

---

[1]) Vulgo: *καὶ χειμῶνα, ἢ κατὰ τὸν αὐτὸν χειμῶνα* scripsit Herwerdenius.

[2]) Etiam nobis male repeti videntur *τῶν κατὰ τὸ αὐτὸ κτλ.* quae uncinis sepsit Herwerdenius.

[3]) *τὰ δ' ὡς — προσαναλαμβάνων* primus Herwerdenius ex Ambrosiano codice addidit.

[4]) Inserit, quod non opus est, *ἀλλήλαις* Herwerdenius.

[5]) Codd.: *ἐπιμνησθήσομαι*, Herwerdenius: *ἐτ' ἐπιμνησθήσομαι*, nobis sufficiunt, quae jam Sylburgius recte scripsit.

[6]) *οὖν* obsecutus Reiskio addidit Herw.

[7]) Herw. *αὐτῆς* excidisse hoc loco opinatur.

ρηκότων ἢ καθάπαξ οὐ μέμνηται ἢ ὥσπερ ἠναγκασμένος.[1] Καὶ κατὰ μὲν τὸν πραγματικὸν τύπον ἥττων ἐστὶν Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων τὰ δὲ κρείττων τὰ δ' ἴσος. Ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα.

Πρώτη τῶν ἀρετῶν γένοιτ' ἂν, ἧς χωρὶς οὐδὲν τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελος τίς ἢ ἡ[2] καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σώζουσα διάλεκτος; Ταύτην ἀκριβοῦσιν ἀμφότεροι. Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανών· Θουκυδίδης τε τῆς Ἀτθίδος.[3] † † † Τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία· ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. Καίτοι λέγοι τις ἂν ὡς μετὰ (μὲν)[4] τοῦ σαφοῦς ἐξεταζόμενον ἤδὺ φαίνεται τὸ βραχύ, εἰ δ' ἀπολείποιτο τούτου, πικρόν. Ἀλλὰ μηδὲν γ' (ἥττων)[5] ἔστω παρὰ τοῦτο. Ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη τῶν ἐπιθέτων ἀρετῶν. Ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. Μετὰ ταύτην συνίσταται ἀρετὴν ἡ τῶν ἠθῶν τε καὶ παθῶν μίμησις. Διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς. Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρόδοτος δὲ τά [γ]'[6] ἤθη παραστῆσαι δεινότερος. Μετὰ ταῦθ' αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς ἀρεταί. Ἴσοι κἀν ταύταις οἱ συγγραφεῖς. Ἕπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως περιέχουσαι. Κρείττων ἐν (μὲν)[7] ταύταις Ἡροδότου Θουκυδίδης, ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείττονας Ἡρόδοτος. Τῆς δὲ φράσεως τῶν ὀνομάτων[8] τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θουκυδίδης [ὁμοειδὴς πᾶς ὤν].[9] Ἐν λόγοις ἀρετῶν ἡ κυριωτάτη τὸ πρέπον. Ταύτην Ἡρόδοτος ἀκρ.βοῖ μᾶλλον ἢ Θουκυδίδης.

---

[1]) Codices habent ἠναγκασμένως, quod correxit Reiskius.

[2]) Codices habent τίς ἧ; ἡ κτλ. Nos secuti sumus Kruegerum collatis verbis Dionysii epist. ad Amm. I. p. 748.

[3]) Lacunam hoc loco statuendam esse jam vidit Sylburgius.

[4]) Inserui cum Herwerdenio.

[5]) Addidi cum Herwerdenio ἥττων.

[6]) Delendum videtur (H.).

[7]) Addidit Herwerdenius.

[8]) Fortasse scribendum est: τῆς δὲ συνθέσεως τῶν ὀνομάτων.

[9]) Turpe emblema Herwerdenio et nobis.

Ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι κἂν ταῖς δημηγορίαις μᾶλλον ἢ ταῖς διηγήσεσιν. † † † † [1]) Ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τἀνθυμήματ᾽ αὐτοῦ μάλιστά γε καὶ ζηλῶσαι Δημοσθένης. Ἵνα δὲ συνελὼν εἴπω καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι· οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων· διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστ᾽ ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἱλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. Ἀπόχρη ταῦτ᾽ εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων λέγεσθαι περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

Caput. IV. Ξενοφῶν δὲ καὶ Φίλιστος οἱ τούτοις ἐπακμάσαντες οὔτε φύσεις ὁμοίας εἶχον οὔτε προαιρέσεις. Ξενοφῶν μὲν γὰρ Ἡροδότου ζηλωτὴς ἐγένετο κατ᾽ ἀμφοτέρους τοὺς χαρακτῆρας τόν τε πραγματικὸν καὶ τὸν λεκτικόν. Πρῶτον μὲν γὰρ τὰς ὑποθέσεις τῶν ἱστοριῶν ἐξελέξατο καλὰς καὶ μεγαλοπρεπεῖς καὶ ἀνδρὶ φιλοσόφῳ προσηκούσας, τήν τε Κύρου παιδείαν, εἰκόνα βασιλέως ἀγαθοῦ καὶ εὐδαίμονος, καὶ τὴν Ἀναβασιν τοῦ νεωτέρου Κύρου, ᾧ καὶ αὐτὸς συνανέβη, μέγιστον ἐγκώμιον ἔχουσαν τῶν συστρατευσαμένων Ἑλλήνων· καὶ τρίτην ἔτι τὴν Ἑλληνικὴν ἣν κατέλιπεν ἀτελῆ Θουκυδίδης, ἐν [2]) ᾗ καταλύονταί θ᾽ οἱ τριάκοντα καὶ τὰ τείχη τῶν Ἀθηναίων, [3]) ἃ Λακεδαιμόνιοι καθεῖλον, αὖθις ἀνίστανται. [4])

Οὐ μόνον δὲ τῶν ὑποθέσεων χάριν ἄξιος ἐπαινεῖσθαι [ζηλωτὴς Ἡροδότου γενόμενος], ἀλλὰ καί τῆς οἰκονομίας. Ταῖς τε γὰρ ἀρχαῖς αὐτῶν ταῖς πρεπωδεστάταις κέχρηται καὶ τελευτὰς ἑκάστῃ τὰς ἐπιτηδειοτάτας ἀποδέδωκε· μεμέρικέ τε καλῶς καὶ τέταχε [5]) καὶ πεποίκιλκε τὴν γραφήν· ἦθός τ᾽ ἐπιδείκνυται θεοσεβὲς καὶ δίκαιον καὶ καρτερικὸν καὶ εὐπετὲς ἁπάσαις τε συλλήβδην κεκοσμημένον ἀρεταῖς. Καὶ ὁ μὲν πραγματικὸς τύπος αὐτῷ τοιοῦτος.

Ὁ δὲ λεκτικὸς πῇ μὲν ὅμοιος Ἡροδότου πῇ δ᾽ ἐνδεέστερος. Καθαρὸς μὲν γὰρ τοῖς ὀνόμασιν ἱκανῶς καὶ σαφὴς καθάπερ ἐκεῖνος. Ἐκλέγει

---

[1]) Lacunam jam sensit Reiskius.

[2]) Ante ἐν codices habent καὶ, quod transposuit post Θουκυδίδου vocabulum Herwerdenius, uncis inclusit Kruegerus.

[3]) Codices habent Ἀθηνῶν.

[4]) Reposuit ἀνίσταται singularem numerum Herwerdenius.

[5]) De conjectura Herwerdenius scripsit διατέταχε.

δ᾽ ὀνόματα συνηθῆ τε καὶ προσφυῆ τοῖς πράγμασι καὶ συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχαρισμένως οὐχ ἧττον Ἡροδότου. Ὕψος δὲ καὶ κάλλος καὶ μεγαλοπρέπειαν καὶ τὸ λεγόμενον ἰδίως πλάσμα ἱστορικὸν Ἡρόδοτος ἔχει. Οὐ γὰρ μόνον οὐκ ἴσχυσε τοῦτο παρ᾽ αὐτοῦ λαβεῖν ἀλλὰ κἄν ποτε διεγεῖραι βουληθῇ [1]) τὴν φράσιν, ὀλίγον ἐμπνεύσας ὥσπερ ἀπόγειος αὔρα ταχέως σβέννυται. Μικρότερος γὰρ γίγνεται τοῦ δέοντος ἐν πολλοῖς καὶ τοῦ πρέποντος (καὶ) οὐχ ὡς Ἡρόδοτος ἐφάπτεται τῶν προσώπων εὐτυχῶς, ἀλλ᾽ ἐν πολλοῖς ὀλίγωρός ἐστιν ἄν τις ὀρθῶς σκοπῇ.

Caput. V. Φίλιστος δὲ Θουκυδίδῃ μᾶλλον ἂν [2]) δόξειεν ἐοικέναι καὶ κατ᾽ ἐκεῖνον κοσμεῖσθαι τὸν χαρακτῆρα. Οὔτε [3]) γὰρ ὑπόθεσιν εἴληφε πολυωφελῆ καὶ κοινήν, ὥσπερ Θουκυδίδης· ἀλλὰ μίαν καὶ ταύτην τοπικήν· διῄρηκε δ᾽ αὐτὴν εἰς γραφὰς δύο, περὶ Σικελίας μὲν τὴν προτέραν ἐπιγράφων, περὶ Διονυσίου δὲ τὴν ὑστέραν. Ἔστι δὲ μία· καὶ τοῦτο᾽ γνοίης ἂν ἀπὸ τοῦ τέλους τῆς Σικελικῆς. Τάξιν δ᾽ οὐ τὴν κρατίστην ἀποδέδωκε τοῖς δηλουμένοις, ἀλλὰ δυσπαρακολούθητον χεῖρον τῆς Θουκυδίδου. Καὶ πράγματ᾽ ἔξωθεν οὐ βούλεται παραλαμβάνειν ὥσπερ οὐδὲ Θουκυδίδης, ἀλλ᾽ ἔστιν ὁμοειδής. Ἦθός τε κολακικὸν καὶ φιλοτύραννον ἐμφαίνει καὶ ταπεινὸν καὶ μικρολόγον. Τῆς δὲ λέξεως, ᾗ Θουκυδίδης κέχρηται, τὸ μὲν σημειῶδες καὶ περίεργον πέφευγε, τὸ δὲ στρογγύλον καὶ πικρὸν καὶ ἐνθυμηματικὸν ἀπομέμακται. [4]) Τῆς μέντοι καλλιλογίας τῆς ἐκείνου καὶ τοῦ πλούτου τῶν ἐνθυμημάτων παρὰ [5]) πολὺ ὑστερεῖ· οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ κατὰ τοὺς σχηματισμούς. Ἡ μὲν γὰρ πλήρης σχημάτων καὶ οὐδὲν οἶμαι περὶ τῶν φανερῶν ἐπιπλέον δεῖν λέγειν, ἡ δὲ Φιλίστου φράσις ὁμοειδὴς πᾶσα δεινῶς καὶ ἀσχημάτιστός ἐστι, καὶ πολλὰς εὕροι τις ἂν περιόδους ὁμοίως ἐφεξῆς ὑπ᾽ αὐτοῦ σχηματιζομένας, οἷον ἐν ἀρχῇ τῆς δευτέρας τῶν περὶ Σικελίας· „Συρακόσιοι δὲ παραλαβόντες Μεγαρεῖς καὶ Ἐνναίους, Καμαριναῖοι δὲ Σικελοὺς καὶ τοὺς ἄλλους συμμάχους πλὴν Γελῴων ἀθροίσαντες — Γελῷοι δὲ Συρακοσίοις οὐκ ἔφασαν πολεμήσειν — Συρακόσιοι δὲ πυνθανόμενοι Καμαριναίους

---

[1]) Vulgo *βουληθείη* soloece (H.).
[2]) Jure suo Herwerdenius addidit inuitis codicibus particulam *ἄν*.
[3]) Codicum scripturam *οὔτε* correxit H. in *οὐ*.
[4]) Codices: *μέμικται*, cfr. de vett. script. cens. p. 427.
[5]) Codices: *κατὰ πολύ*, mutavit Herwerdenius.

τὸν Ὑρμινὸν διαβάντας“ .... Ταῦτα δ᾽ ἀηδῆ πάνυ ὄντ᾽ ἐμοὶ φαίνεται. Μικρὸς δὲ περὶ πᾶσαν ἰδέαν ἐστὶ καὶ ἀτελής, ἐάν τε πολιορκίας διηγῆται, ἐάν τ᾽ οἰκισμούς, ἐάν τ᾽ ἐπαίνους, ἐάν τε ψόγους διαπορεύηται· ἀλλ᾽ οὐδὲ τοῖς μεγέθεσι τῶν ἀνδρῶν συνεξισῶν τοὺς λόγους ψοφοδεῶς αὐτοὺς δημηγοροῦντας [1]) καὶ ἐλλείποντας τῆς κατὰ τὰς προαιρέσεις δυνάμεως ὁμοίως ἅπαντας ποιεῖ. Εὐστομίαν δέ τινα φυσικὴν εἰσφέρεται κατὰ τὴν ἑρμηνείαν, καὶ σύνεσιν ἐπιτευκτικὴν τοῦ μετρίου. Πρὸς δὲ τοὺς ἀληθινοὺς ἀγῶνας ἐπιτηδειότερος Θουκυδίδου.

Cap. VI. Θεόπομπος δ᾽ ὁ [2]) Χῖος ἐπιφανέστατος πάντων τῶν Ἰσοκράτους μαθητῶν γενόμενος καὶ πολλοὺς μὲν πανηγυρικούς, πολλοὺς δὲ συμβουλευτικοὺς συνταξάμενος λόγους, ἐπιστολάς τε τὰς Χιακὰς [3]) ἐπιγραφομένας καὶ ὑποθήκας ἄλλας, λόγου δ᾽ ἀξίαν ἱστορίαν πεπραγματευμένος, ἄξιός ἐστιν ἐπαινεῖσθαι πρῶτον μὲν τῆς ὑποθέσεως τῶν ἱστοριῶν· καλαὶ γὰρ ἀμφότεραι, ἡ μὲν τὰ λοιπὰ τοῦ Πελοποννησιακοῦ πολέμου περιέχουσα, ἡ δὲ τὰ Φιλίππῳ πεπραγμένα· ἔπειτα δὲ τῆς οἰκονομίας· ἀμφότεραι γάρ εἰσιν εὐπαρακολούθητοι καὶ σαφεῖς· μάλιστα δὲ τῆς ἐπιμελείας τε καὶ φιλοπονίας τῆς κατὰ τὴν συγγραφήν· δῆλος γάρ ἐστιν εἰ καὶ μηδὲν ἔγραψε [4]) πλείστην μὲν παρασκευὴν εἰς ταῦτα παρεσκευασμένος μεγίστας δὲ δαπάνας εἰς τὴν συναγωγὴν αὐτῶν τετελεκώς, καὶ πρὸς τούτοις πολλῶν μὲν αὐτόπτης γεγενημένος, πολλοῖς δ᾽ εἰς ὁμιλίαν ἐλθὼν [5]) ἀνδράσι τοῖς τότε πρωτεύουσι καὶ στρατηγοῖς καὶ δημαγωγοῖς τε καὶ φιλοσόφοις διὰ τὴν συγγραφήν· οὐ γὰρ ὥσπερ τινὲς πάρεργον τοῦ βίου τὴν ἀναγραφὴν τῆς ἱστορίας ἐποιήσατο, ἔργον δὲ τὸ πάντων ἀναγκαιότατον. Γνοίη δ᾽ ἄν τις αὐτοῦ τὸν πόνον ἐνθυμηθεὶς τὸ πολύμορφον τῆς γραφῆς. Καὶ γὰρ καὶ ἐθνῶν εἵρηκεν οἰκισμοὺς καὶ πόλεων

---

[1]) Codices habent: ἀλλὰ ψοφοδεεῖς καὶ τοὺς, correxit Herwerdenius; eundem secuti sumus in sequentibus, ubi codices habent: δημηγοροῦντας καταλείπειν τὰς δυνάμεις καὶ τὰς προαιρέσεις.

[2]) Articulum plane necessarium omittunt codices; vide Kruegerum.

[3]) Ambrosianus: Ἀρχαϊκάς, ceteri codices: Ἀχαϊκάς; scribendum videtur Χιακάς.

[4]) Herwerdenius: „Quid haec sibi veliut, non satis intelligo.“ At facile intelligi posse nobis videntur, subaudiendus est infinitivus: πλείστην παρασκευὴν παρεσκευάσθαι.

[5]) Herw. mavult ἐληλυθώς, quod non necessarium est.

κτίσεις ἐπελήλυθε, βασιλέων τε βίους καὶ τόπων [1]) ἰδιώματα δεδήλωκε, κεἴ τι θαυμαστὸν ἢ παράδοξον ἑκάστη γῆ καὶ θάλαττα φέρει, συμπεριείληφε τῇ πραγματείᾳ. Καὶ μηδεὶς ὑπολάβῃ ψυχαγωγίαν ταῦτ' εἶναι μόνον· οὐ γὰρ οὕτως ἔχει· ἀλλὰ πᾶσαν ὡς ἔπος εἰπεῖν ὠφέλειαν περιέχει. [2])

Ἵνα δὲ πάντ' ἀφῶ τἄλλα, τίς οὐχ ὁμολογήσει τοῖς ἀσκοῦσι [3]) τὴν φιλόσοφον ῥητορικὴν ἀναγκαῖον εἶναι, πολλὰ μὲν ἔθη καὶ βαρβάρων καὶ Ἑλλήνων ἐκμαθεῖν πολλοὺς δὲ νόμους [ἀκοῦσαι] [4]) καὶ πολιτειῶν σχήματα καὶ βίους ἀνδρῶν καὶ πράξεις καὶ τέλη καὶ τύχας. Τούτων τοίνυν ἅπασαν ἀφθονίαν δέδωκεν οὐκ ἀπεσπασμένην τῶν πραγμάτων ἀλλὰ συμπαροῦσαν. Πάντα δὴ [5]) ταῦτα ζηλωτὰ τοῦ συγγραφέως, κἄτι πρὸς τούτοις ὅσα φιλοσοφεῖ παρ' Ἕλλην τὴν ἱστορίαν, περὶ δικαιοσύνης καὶ εὐσεβείας καὶ τῶν ἄλλων ἀρετῶν πολλοὺς καὶ καλοὺς διεξερχόμενος λόγους. Τελευταῖόν ἐστι τῶν ἔργων αὐτοῦ καὶ χαρακτηριστικώτατον ὅπερ [6]) οὐδενὶ τῶν ἄλλων συγγραφέων οὕτως ἀκριβῶς ἐξείργασται καὶ δυνατῶς, οὔτε τῶν πρεσβυτέρων οὔτε τῶν νεωτέρων· τί δὲ τοῦτ' ἔστι; Τὸ καθ' ἑκάστην πρᾶξιν μὴ μόνον τὰ φανερὰ τοῖς πολλοῖς ὁρᾶν καὶ λέγειν, ἀλλ' ἐξετάζειν καὶ τὰς ἀφανεῖς αἰτίας τῶν πράξεων καὶ τῶν πραξάντων αὐτὰς [7]) τὰ πάθη τῆς ψυχῆς, ἃ μὴ ῥάδια τοῖς πολλοῖς εἰδέναι· καὶ πάντ' ἐκκαλύπτειν τὰ μυστήρια τῆς τε δοκούσης ἀρετῆς καὶ τῆς ἀγνοουμένης κακίας. Καί μοι δοκεῖ ὡς ὁ μυθευόμενος εἶναι τῶν ψυχῶν ἀπολυθεισῶν τοῦ σώματος ἐξετασμὸς ἐπὶ τῶν ἐκεῖ δικαστῶν, οὕτως ἀκριβὴς εἶναι ὁ διὰ τῆς Θεοπόμπου γραφῆς γιγνόμενος· διὸ καὶ βάσκανος ἔδοξεν εἶναι προσλαμβάνων τινὰ τοῖς ἀναγκαίοις ὀνειδισμοῖς κατὰ τῶν ἐνδόξων προσώπων οὐκ ἀναγκαῖα κατηγορήματα· [8]) ὅμοιόν τι ποιῶν τοῖς ἰατροῖς,

---

[1]) Scripsi pro codicum scriptura *τρόπων*, secutus Sylburgium, *τόπων*.

[2]) Ambrosianus: *περιέχει*, reliqui codices: *πᾶσιν — παρέχει*.

[3]) Codices habent: *ἀκούουσι*, correxit Reiskius.

[4]) *ἀκοῦσαι* melius deletur, quam mutatur in *ἀκριβῶσαι*, quod voluit Herwerdenius.

[5]) Vulgo *δέ*.

[6]) Pro codicum ὃ *παρ' οὐδενὶ* Herwerdenius *ὅπερ*.

[7]) Codices: *αὐτὰς καὶ τὰ πάθη*.

[8]) Conjecit Kruegerus, codices: *πράγματα*.

οἳ τέμνουσι καὶ κάουσι τὰ διεφθαρμένα τοῦ σώματος, ἕως [1]) βάθους τὰ καυτήρια καὶ τὰς τομὰς φέροντες, οὐδὲ τῶν ὑγιαινόντων καὶ κατὰ φύσιν ἐχόντων στοχαζόμενοι. Τοιοῦτος μὲν δή τις ὁ πραγματικὸς Θεοπόμπου χαρακτήρ.

Ὁ δὲ λεκτικὸς Ἰσοκράτει μάλιστ' ἔοικε. Καθαρά τε [2]) γὰρ ἡ λέξις καὶ κοινὴ καὶ σαφὴς ὑψηλή τε καὶ μεγαλοπρεπὴς καὶ τὸ πομπικὸν ἔχουσα πολύ, συγκειμένη τε κατὰ τὴν μέσην ἁρμονίαν ἡδέως καὶ μαλακῶς ῥέουσα. Διαλλάττει δὲ τῆς Ἰσοκρατείου κατὰ τὴν πικρότητα καὶ τὸν τόνον ἐπ' ἐνίων, ὅταν ἐπιτρέψῃ τοῖς πάθεσι, μάλιστα δ' ὅταν ὀνειδίζῃ πόλεσιν ἢ στρατηγοῖς πονηρὰ βουλεύματα καὶ πράξεις ἀδίκους. Πολὺς γὰρ [3]) ἐν τούτοις καὶ τῆς Δημοσθένους δεινότητος οὐδὲ κατὰ μικρὸν διαφέρει, ὡς ἐξ ἄλλων πολλῶν ἄν τις ἴδοι κἀκ τῶν Χιακῶν ἐπιστολῶν ὡς τῷ . . . . [4]) πνεύματι ἐπιτρέψας γέγραφεν. Εἰ δ' ὑπερεῖδεν ἐν τούτοις, ἐφ' οἷς μάλιστ' ἐσπούδακε, τῆς τε συμπλοκῆς τῶν φωνηέντων γραμμάτων καὶ τῆς κυκλικῆς εὐρυθμίας τῶν περιόδων καὶ τῆς ὁμοειδείας τῶν σχηματισμῶν, πολὺ ἀμείνων ἂν ἦν αὐτὸς ἑαυτοῦ κατὰ τὴν φράσιν. Ἔστι δ' ἃ καὶ κατὰ τὸν πραγματικὸν τύπον [5]) ἁμαρτάνει καὶ μάλιστα κατὰ τὰς παρεκβολάς. Οὔτε γὰρ ἀναγκαῖαί τινες αὐτῶν οὔτ' ἐν καιρῷ γιγνόμεναι, πολὺ δὲ τὸ παιᾶδες ἐμφαίνουσαι. Ἐν αἷς ἐστι καὶ τὰ περὶ Σειληνοῦ τοῦ φανέντος ἐν Μακεδονίᾳ καὶ τὰ περὶ τοῦ δράκοντος τοῦ διαναυμαχήσαντος πρὸς τὴν τριήρη, ἀλλ' οὐκ ὀλίγ' ὅμοια τούτοις. Οὗτοι δὴ παραληφθέντες οἱ συγγραφεῖς ἀρκέσουσι τοῖς ἀσκοῦσι τὸν πολιτικὸν λόγον ἀφορμὰς ἐπιτηδείους παραδειγμάτων παρασχεῖν εἰς ἅπασαν ἰδέαν. —

---

[1]) Ambrosianus ἕως *βάθους*, reliqui codices: ὡς *βάθους*.
[2]) *τε* unus habet Ambrosianus.
[3]) Herwerdenius conjecit, quod non opus est, ξεῖ addendum esse.
[4]) Cod. Ambrosianus spatium vacuum reliquit novem fere litterarum (H.)
[5]) Codices: *τόπον*.

Ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας.

Antequam ad commentationem de Thucydide aggressus est, scripserat Dionysius libellum *ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας*, de Thucyd. c. II. p. 814: *καὶ οὐδεμίαν ἐκδεδωκὼς γραφὴν ἐν ᾗ κατηγορῶ τινος ἔξω μιᾶς πραγματείας ἣν συνεταξάμην ὑπὲρ τῆς πολιτικῆς φιλοσοφίας πρὸς τοὺς κατατρέχοντας αὐτῆς ἀδίκως.* Quae fuerit Dionysio *πολιτικῆς φιλοσοφίας* notio, ipse saepius significavit: de Isocr. c. IV. p. 543, c. XII. p. 558, epist. ad Pomp. c. VI. p. 784. Quodcum rhetoricae primo loco adversati sint Epicurei, in eos maxime Dionysium invectum esse hoc libro denuo monet Blassius de script. rhet. p. 23, vidit jam Fabricius in biblioth. IV. p. 400. — Non intelligitur, quomodo fieri potuerit, ut Blassius inde, quod Dionysius in jud. de Thuc. illus libri *ὑπὲρ τῆς πολ. φιλοσ.* ut scripti et editi operis mentionem fecit, libellum paulo ante tractatum de Thuc. compositum editumque esse conjecerit; vide Blass. de script. p. 30.

Fragm. XXIII. Diog. Laert. X. n. 3, edit. Hübnerianae vol. II. p. 439 et seq.:

Διότιμος δὲ ὁ στωικὸς δυσμενῶς ἔχων πρὸς αὐτὸν — Ἐπίκουρον — πικρότατ᾽ αὐτὸν διαβέβληκεν, ἐπιστολὰς φέρων πεντήκοντα ἀσελγεῖς ὡς Ἐπικούρου καὶ τὰ εἰς Χρύσιππον ἀναφερόμενα ἐπιστόλια ὡς Ἐπικούρου συντάξας, ἀλλὰ καὶ οἱ περὶ Ποσειδώνιον τὸν στωικὸν καὶ Νικόλαος καὶ Σωτίων ἐν τοῖς δώδεκα τῶν ἐπιγραφομένων Διοκλείων ἐλέγχων ἃ ἐστι περὶ τῆς κδ΄, καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς, καὶ γὰρ σὺν τῇ μητρὶ περιόντ᾽ αὐτὸν ἐς τὰ οἰκίδια καθαρμοὺς ἀναγινώσκειν καὶ σὺν τῷ πατρὶ γράμματα διδάσκειν λυπροῦ τινος μισθαρίου, ἀλλὰ καὶ τῶν ἀδελφῶν ἕνα προαγωγεύειν Λεοντίῳ τε συνεῖναι τῇ ἑταίρᾳ.

Τέχναι.

Fragm. XXIV. Maxim. Plan. W. rhett. gr. vol. V. p. 213:

Διονύσιος δ' ὁ Ἁλικαρνασεύς (τὴν ῥητορικὴν ὡρίσατο) οὕτως· δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. [1])

Fragm. XXV. Georgius Pletho *συντομὴ τῆς ῥητορικῆς.* **W. rhett. gr. vol. VI. p. 587 et seq.:**

Ἑρμηνείας ἤτοι φράσεως λόγου τέσσαρες ἀρεταί, ἄνευ λέγω τῶν ἐσχηματισμένων καὶ αἰνιγματωδῶν λόγων καὶ τῶν κατὰ μίμησιν γεγραμμένων ἀσαφογράφων τινῶν ἢ μακρηγόρων· ἐν τούτοις γὰρ ἀρετὴ γίγνεται ἡ τοῦ λόγου κακία· αἱ δὲ τῆς ἑρμηνείας τοῦ λόγου τέσσαρες ἀρεταὶ μᾶλλον δὲ τοῦ διδασκαλικοῦ καί ἱστορικοῦ καθεστήκασιν αἵδε· σαφήνεια συντομία πιθανότης μεγαλοπρέπεια, ὡς Ἰσοκράτει καὶ Ἐμπεδοκλεῖ Διονυσίῳ Φιλοστράτῳ Ἰαμβλίχῳ καὶ πᾶσι παλαιοῖς.

Tzetzes Chil. XII, v. 566:

Τέσσαρας λόγου ἀρετὰς λέγουσι πεφυκέναι ὁ Ἰσοκράτης ῥήτωρ τε αὐτὸς καὶ Ἀλκιδάμας ὁ Θεοδέκτης ἅμα τε καὶ Μινουκιανὸς δὲ σὺν οἷς καὶ Διονύσιος ὁ Ἁλικαρνασσόθεν Φιλόστρατος καὶ ἕτεροι μύριοι τῶν ῥητόρων σαφὲς μεγαλοπρέπειαν σύντομον πιθανόν τε μετὰ τῆς ὡραιοτητος ῥητορικῶν σχημάτων Ἐμπεδοκλῆς πρὸ πάντων τε φιλόσοφος ὁ μέγας.

Περὶ σχημάτων.

Scripsisse Dionysium de figuris peculiarem libellum constat. Etenim Quintilianus inst. orator. lib. IX. 3, 89 habet haec: „Haec omnia (quae ad figuras pertinent) copiosius sunt executi qui non ut partem operis transcurrerunt sed proprie libros huic operi

---

[1]) Eandem Dionysii definitionem perhibent quattuor viri grammatici, praeterquam quod pro vocabulo *πιθανῶς* Doxopater VI, 17, Anonymus VII, 15. III, 611 habent *εὖ*, Matth. Camariot. VI, 601 habet *καλῶς*.

dedicaverunt, sicut Caecilius, Dionysius, Rutilius“ et q. s. Audiendus testis est etiam Halicarnassensis, qui se illum librum scribere in animo habere dicit de Dem. c. XXXIX. p. 1072: *ἐξαριθμεῖσθαι δὲ νῦν ὅσα γένη σχηματισμῶν ἐστι τῶν τε κατωνομασμένων καὶ τῶν ἀκατονομάστων καὶ τίσιν αὐτῶν ἡ τοιαύτη μάλιστα πέφυκεν ἁρμονία χαίρειν, οὐκ ἔχω καιρόν.* Alia ejusdem auctoris verba quae sunt in libr. de compos. cap. VIII. p. 46: *πολλοὶ δὲ δήπου σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν ὥσπερ καὶ τῆς διανοίας*, haec, dico, ostendunt Dionysium sollemnem aequalium divisionem in eo libro servasse, quam secutos esse notum est Caecilium, Phoebammonem, Tiberium. Suadet autem Dionysius figurarum usum quendam mediocrem in tractatu: *περὶ τῶν ἐν μελέταις πλημμελουμένων ια΄* p. 385 R. Figurae autem quas Dionysius nonnullis servatorum scriptorum locis commemorat hae sunt:

Σχήματα λέξεως.

Ἀντίθεσις: ad Amm. II. c. 2 p. 792, c. 17 p. 808, de Thuc. c. 24 p. 869, de Dem. c. 25 p. 1033, c. 40 p. 1078 — exempla ejus figurae: de Isocr. c. 14 p. 562 et seq.

Παρίσωσις: de compos. c. 22 p. 148, ad Amm. II. c. 2 p. 792, c. 6 p. 808, de Dem. c. 40 p. 1078. — de Isocr. c. 14 p. 561 et seq.

Παρομοίωσις: de comp. c. 22 p. 149, c. 23 p. 185, ad Amm. II. p. 792, c. 17 p. 808, de Dem. c. 40 p. 1078.

Παρωνομασία: ad Amm. II. c. 2 p. 792, de Dem. c. 40 p. 1078.

Ἐπαναφορά, Ἀντιστροφή, Ἀναστροφή: de Dem. c. 40 p. 1078.

Σχήματα διανοίας.

Προσωποποιία: de Thuc. c. 37 p. 906. *Διαπόρησις*: de compos. c. 8 p. 46. *Πλεονασμός*: de Dem. c. 50 p. 1106.

Ceterum distinguit ab his verborum et sententiarum figuris id quod debuit *ἰδέας τροπικάς* vel *τρόπους*, cfr. de Thuc. c. 5 p. 966, de Dem. c. 48 p. 1103, de Lys. c. 3 p. 457. Quos nominavit Dionysius sunt tropi hi:

Μεταφορά: de comp. c. 3 p. 25, de Dem. c. 5. p. 966.
Ἀλληγορία: de Dem. c. 5 p. 966.
Περίφρασις: de Thuc. c. 31 p. 891, c. 46 p. 929.
Μετωνυμία: de Dem. c. 5 p. 966.
Ὑπέρβατον: de Thuc. c. 31 p. 891.
Ὑπαλλαγή, Κατάχρησις: de Comp. c. 3 p. 25.

Sed aliud etiam *περὶ ἰδεῶν* sive *σχημάτων* opus Dionysii videntur indicare: Schol. Arist. III. 373: *Διονύσιος ὁ Ἁλικαρνασσεὺς λέγει ὅτι λβ' εἰσὶ σχήματα τοῦ λόγου ὧν ἕν ἐστι τὸ τοῦ δρόμου.* Tzetzes Cram. anecd. Oxon. IV. 126, 6: *πρὸ Ἑρμογένους ἔγραψαν καὶ ἄλλοι γὰρ ἰδέας, αὐτὸς ὁ Διονύσιος σὺν ᾧ καὶ Βασιλίσκος.* Joann. Siciliot. VI. p. 95: *καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ Σμυρναῖος ὁ Ἀριστείδης περὶ ἰδεῶν τι καὶ τέχνης γράψαντες· βάτα κάρας, ἡ παροιμία φησίν.* Apparet hoc loco cogitari non posse nisi de eis figuris quas tractavit Hermogenes in libro *περὶ ἰδεῶν*, cfr. Walz rhett. gr. III. p. 189, quas breviter nominaverim *μέρη τῆς δεινότητος*, sicuti *σαφήνειαν, καθαρότητα κτλ.* At tantum abest ut Dionysius Halicarnassensis hanc *ἰδέας* notionem noverit,[1]) ut ejusmodi idearum doctrina aperte pugnet cum illa quam de *χαρακτῆρσι* quattuor eum statuisse scimus. Accedit, quod Hermogenes disertis verbis sese primum inter omnes talia docere dicit. W. rhett. gr. III. 192: *οὐδὲ γάρ ἐστιν ὅστις πρὸ ἡμῶν ὅσα ἐμὲ γινώσκειν εἰς τήνδε ἡμέραν ἀκριβές τι περὶ τούτων πραγματευσάμενος φαίνεται.* Utut verba Tzetzae, Joannis Siciliotae, scholiastae interpretanda sunt, hoc constat Dionysium in Hermogenis modum de ideis scripsisse libellum nullum.

---

[1]) *ἰδέαι λόγων* = genera orationum: deliberativum judiciale demonstrativum de Lys. c. 1. p. 455 R , de Dem. c. IV, p. 962.
ἰδέαι τροπικαί = tropi: de Lys. c. 3. p. 457 R.
ἰδέαι πραγμάτων = exordium, narratio, demonstratio et peroratio de Lys. c. 9. p. 470, c. 17. p. 489 R.
ἰδέα = *χαρακτὴρ λέξεως* de Dem. c. 8. p. 975.
ἰδέα = *θεωρία* de compos. c. 5. p. 38.
ἰδέα = idea (Platonica) de Thuc. c. 3. p. 815 R.

VITA.

Ego, Theodorus Roessler, natus sum die XXX. mensis Julii anni MDCCCXLVIII. Mitweidæ oppido Saxoniae patre, qui cum gaudio nostro etiamnunc vivit, Carolo Theophilo pastore apud Gersdorfenses, matre Laura ab gente Witscheliana. Fide imbutus evangelica et primum a patre institutus deinde a praeceptore etiamnunc mihi carissimo, Theodoro Schulze, qui nunc est pastor apud Auerbachenses in vicinitate Cygneae, auctumno anni MDCCCLXIII. erudiendi causa illustri apud Grimam Moldano mandatus sum. Absoluto quinquennio, ductus non minus meo ipsius animo quam studiis et auctoritate eorum virorum quibus tum praeceptoribus usus gratias plurimas debeo, Rudolfi Dietschii, Hermanni Frohbergeri, ut philologiae operam darem Lipsiensem litterarum universitatem adii. Interfui scholis Curtii, Klotzii, Langii, Lipsii, Ritschelii philologicis, Ahrensii, Drobischii, Fechneri, Frickii, Seydelii philosophicis, Ecksteinii paedagogicis, Voigtii historicis. Socius fui per semestria tria societatis latinae Klotzii quem virum egregium nobis praematura morte ereptum esse sincero animo dolemus. Benevolentia Ritschelii factum est, ut proximi anni autumno societatis philol. Lipsiensis fierem socius ordinarius. Langius eodem tempore permisit, ut interessem exercitationibus ad romanas antiquitates spectantibus. Societatis, quae auspiciis J. H. Lipsii graecas antiquitates sibi tractandas proposuit, post mortem Klotzii sodalis fui ad hoc usque tempus per semestria quinque. Lipsio viro mihi carissimo praecipue beneficiis me obstrictum esse libenter fateor; sed ceteris omnibus qui me instituerunt viris gratias quam maximas et nunc ago et habebo semper.